Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: kim-aa

*Νικοκράτης ὁ ἱστορικός* · Nicocrates the Historian

# On the Heliconian Contest

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

**ΠΕΡΙ ΤΟΥ ΕΝ ΕΛΙΚΩΝΙ ΑΓΩΝΟΣ.**

1 Schol. ad Hom. Il. ν, 21: Ἐν Αἰγαῖς τῆς Εὐβοίας παράδοξα πολλὰ γίνεται. Κατὰ γὰρ τὰς ἐτησίους τοῦ Διονύσου τελετὰς, ὀργιαζουσῶν τῶν μυστίδων γυναικῶν, βλαστάνουσιν αἱ καλούμεναι ἐφήμεροι ἄμπε λοι, αἵτινες ἕωθεν μὲν τὰς τῶν καρπῶν ἐκβολὰς ποιοῦνται, εἶτ’ αὖ πάλιν βότρυας βαρυτάτους (καὶ τοὺς) πρὸ μεσημβρίας πεπαίνουσι, ὥστε πρὸς τὴν ἑσπέραν δρεπόμενοι ἄκρατον χορηγεῖν δαψιλὲς ταῖς ἀπὸ τοῦ χοροῦ παρθένοις. Οὐδεμία δὲ ἔνδεια γίνεται ὑπ’ αὐτοῦ κατ’ ἐχομένην τὴν ἡμέραν, ἀλλ’ ὁσάκις ἀναλίσκεται, τοσαυτάκις δαψιλεύεται. Νικοκράτης δὲ ἐν τῷ Περὶ τοῦ ἐν Ἑλικῶνι ἀγῶνος οὐ ταύτας φησὶ τὰς Αἰγὰς λέγειν τὸν ποιητὴν, ἀλλ’ ἑτέραν τινὰ νῆσον ἐν τῷ Αἰγαίῳ πελάγει, περὶ ἣν καὶ παραδοξολογία τις εἶναι μυθεύεται· τοὺς γὰρ προσορμίζοντας τῇ νήσῳ νυκτὸς ἅπαντας ἀφανεῖς γίνεσθαι, διὸ μηδὲ προσπελάζειν τινά.

2 Schol. Apoll. Rh. I, 831: Νικοκράτης δέ φησιν, ὅτι ἀπὸ Αἰγέως κατακρημνίσαντος ἑαυτὸν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὴν θάλασσαν.

3 Stephan. Byz. v. Βοιωτία: Νικοκράτης δέ φησιν ὅτι Ποσειδῶνος καὶ Ἄρνης ἦν παῖς (sc. Βοιωτός).